## *ΔΕΙCΙΔΑΙΜΩΝ*

### 97 (109 K)

Clemens Alexandrinvs, *Stromateis* vii. 4. 24 *τοιοῦτόν τινα ἐν τῶι Δειcιδαίμονι ὁ Μένανδροc διακωμωιδεῖ·*

*ἀγαθόν τι μοι*
*γένοιτο.*
*ὦ πολυτίμητοι θεοί,*
*ὑποδούμενοc τὸν ἱμάντα ⟨—⟩ τῆc δεξιᾶc*
*ἐμβάδοc ἀπέρρηξα.*
⟨*B.*⟩ *εἰκότωc, ὦ φλήναφε·*
*caπρὸc γὰρ ἦν, cὺ δὲ μικρολόγοc ⟨τιc⟩ οὐ θέλων*
*καινὸν πρίαcθαι.*

## *ΘΥΡΩΡΟC*

### 208

Photivs Berolinensis p. 108. 5. *Μένανδροc Θυρωρῶι·*

*οὐκ ἀδελφόc, οὐκ ἀδελφὴ παρενοχλήcει, τηθίδα*
*οὐδ' ἑώρακεν τὸ cύνολον, θεῖον οὐδ' ἀκήκοεν.*
*εὐτύχημα δ' ἐcτὶν ὀλίγουc τοὺc ἀναγκαίουc ἔχειν.*

### 209 (923 K.)

Athenaevs 71 e

*ἔργον ⟨ἐcτὶν⟩ εἰc τρίκλινον cυγγενείαc εἰcπεcεῖν,*
*οὗ λαβὼν τὴν κύλικα πρῶτοc ἄρχεται λόγου πατήρ,*